# Γέται.

« Πριν δε απικέσθαι (Δαρξω) επι τον Ίστρον πρώτους αιρέει Γέτας τους αθανατίζοντας. οι μεν γαρ τον Σαλμυδησσόν έχοντες Θρήικες και υπέρ Απολλωνίης τε και Μεσαμβρίης πόλιος οικημένοι, καλεόμενοι δε Σκυρμιάδαι και Νιψαίοι, αμαχητί σφέας αυτούς παρέδοσαν Δαρξω· οι δε Γέται προς αγνωμοσύνην τραπόμενοι αυτίκα εδουλώθησαν, Θρηίκων εόντες ανδρηιότατοι και δικαιότατοι. Αθανατίζουσι δε τοιόνδε τον τρόπον· ούτε αποθνήσκειν εωυτούς νομίζουσι, ιέναι τε τον απολλύμενον παρα Ζάλμοξιν δαίμονα. οι δε αυτών τον αυτόν τούτον ονομάζουσι Γεβελέϊζιν. δια πεντετηρίδος δε τον πάλω λαχόντα αιεί σφέων αυτών αποπέμπουσι άγγελον παρα τον Ζάλμοξιν εντελλόμενοι των αν εκάστοτε δέωνται. πέμπουσι δε ώδε· οι μεν αυτών ταχθέντες ακόντια τρία έχουσι, άλλοι δε διαλαβόντες του αποπεμπομένου παρα τον Ζάλμοξιν τας χείρας και τους πόδας, ανακινήσαντες αυτόν μετέωρον ριπτέουσι ες τας λόγχας. ην μεν δη αποθάνη αναπαρείς, τοίσι δε ίλεως ο θεός δοκέει είναι· ην δε μη αποθάνη, αιτιώνται αυτόν τον άγγελον, φάμενοί μιν άνδρα κακόν είναι, αιτιησάμενοι δε τούτον άλλον αποπέμπουσι· εντέλλονται δε έτι ζώντι. ούτοι οι αυτοί Θρήικες και προς βροντήν τε και αστραπήν τοξεύοντες άνω προς τον ουρανόν απειλέουσι τω

Ηροδ. IV 93 ση 324

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Γέται οἱ ἀθανατίζοντες.

θεῷ, οὐδένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον. Ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον κτλ. (ὅρα ἐν λ. Ζάλμοξιν.) — εἴτε δὲ ἐγένετό τις Ζάλμοξις ἄνθρωπος, εἴτ' ἐστὶ δαίμων καὶ τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω· οὗτοι μὲν δὴ τρόπῳ τοιῷδε χρεώμενοι ὡς ἐχειρώθησαν ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ».

Θουκυδ. II. 96 σελ 156 Ἀνίστησιν οὖν (Σιτάλκης) ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται».

» » » 98 σελ 159 Τὸ δὲ πλεῖστον τοῦ πεζοῦ αὐτοὶ Ὀδρύσαι παρείχοντο καὶ μετ' αὐτοὺς Γέται».